καὶ πόλις ἄκρα τε τειχέων.
ΧΟ. πτέρυγι δὲ καπνὸς ὥς τις οὐ-
ρανίᾳ πεσοῦσα δορὶ καταφθίνει γᾶ.
μαλερὰ μέλαθρα πυρὶ κατάδρομα
δαΐῳ τε λόγχᾳ.
ΕΚ. ἰὼ γᾶ τρόφιμε τῶν ἐμῶν τέκνων. str.
ΧΟ. ἒ ἔ.
ΕΚ. ὦ τέκνα, κλύετε, μάθετε ματρὸς αὐδάν.
ΧΟ. ἰαλέμῳ τοὺς θανόντας ἀπύεις.
ΕΚ. γεραιά γ᾽ εἰς πέδον τιθεῖσα μέλεα
καὶ χερσὶ γαῖαν κτυποῦσα δισσαῖς.
ΧΟ. διάδοχά σοι γόνυ τίθημι γαίᾳ
τοὺς ἐμοὺς καλοῦσα νέρθεν
ἀθλίους ἀκοίτας.
ΕΚ. ἀγόμεθα φερόμεθ᾽ ΧΟ. ἄλγος ἄλγος βοᾷς.
ΕΚ. δούλειον ὑπὸ μέλαθρον. ΧΟ. ἐκ πάτρας γ᾽ ἐμᾶς.
ΕΚ. ἰὼ ἰώ.
Πρίαμε Πρίαμε, σὺ μὲν ὀλόμενος
ἄταφος ἄφιλος
ἄτας ἐμᾶς ἄιστος εἶ.
ΧΟ. μέλας γὰρ ὄσσε κατακαλύπτει
θάνατος ὅσιον ἀνοσίαις σφαγαῖσιν.
ΕΚ. ἰὼ θεῶν μέλαθρα καὶ πόλις φίλα, antistr.
ΧΟ. ἒ ἔ.
ΕΚ. τὰν φόνιον ἔχετε φλόγα δορός τε λόγχαν.
ΧΟ. τάχ᾽ εἰς φίλαν γᾶν πεσεῖσθ᾽ ἀνώνυμοι.
ΕΚ. κόνις δ᾽ ἴσα καπνῷ πτέρυγι πρὸς αἰθέρ᾽
ἄιστον οἴκων ἐμῶν με θήσει.
ΧΟ. ὄνομα δὲ γᾶς ἀφανὲς εἶσιν· ἄλλᾳ δ᾽
ἄλλο φροῦδον, οὐδ᾽ ἔτ᾽ ἔστιν
ἁ τάλαινα Τροία.
ΕΚ. ἐμάθετ᾽, ἐκλύετε; ΧΟ. περγάμων κτύπον.

---

1303. ἒ ἒ μέλαθρα τῷ πυρὶ καταδέδρακεν BCG 1305. γ᾽] Seidlerus, τ᾽ libri. 1306. κτυποῦσα schol., κρύπτουσα libri. 1307. διάδοχον *B* 1312. ἰώ semel *B* 1315. κατακαλύπτει CG κατακαλύψει B*B* 1316. ὅσιος *B* 1319. γὰρ *B*